Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: ebk-ab

*Ἄρχιππος ὁ Κωμικός* · Archippus the Comic Poet

# Fragments on Fish and Feasting

*Ἀποσπάσματα περὶ Ἰχθύων καὶ Εὐωχίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 Καὶ ταῦτ’ ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν.
book 2.1 Τίς ἐκέρασε
book 2.2 σφῷν, ὦ κακόδαιμον, ἴσον ἴσῳ;
book 1.1 Ἀνδρῶν ἄριστος καὶ μάλιστ’ ἐμοὶ ξένος, ἀτὰρ
book 1.2 παρ’ ἐμοί γ’ ὢν εἶχεν οὐδὲ σύμβολον.
book 2.1 Ταδὶ δ’ ἅμα
book 2.2 χοίρων ἀκροκώλια μικρῶν, ταύρου τ’ αὐξίκερω
book 2.3 φλογίδες, αἱ δολιχαί τε κάπρου
book 2.4 φλογίδες.
book 3.1 Τὸ πῦρ
book 3.2 πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας ἄκρας.
book 1.1 Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος, Ἕρμαιος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς
book 1.2 τε πωλεῖ καὶ τοὺς λάβρακας ἐντερεύων, ὡς λέγουσιν ἡμῖν.
book 3.1 Αἱρουμένους
book 3.2 τε πραγμάτων ἐπιστάτας ἀποδοκιμάζειν, [εἶτα δοκιμάζειν] πάλιν. ἢν οὖν
book 3.3 ποιῶμεν
book 3.4 ταῦτα, κίνδυνος λαθεῖν ἁπαξάπαντας γενομένους
book 3.5 παλιναιρέτους.
book 4 [spk_α]Α. Τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάσσιοι;
book 4.1 [spk_β]Β. Γαλεοί γε πάντων μάντεων
book 4.2 σοφώτατοι.
book 5-6.1 Λεπάσιν, ἐχίνοις, ἐσχάραις, βελόναις
book 5-6.2 τε τοῖς κτεσίν
book 5-6.3 τε. Κῆρυξ Θαλάσσης
book 5-6.4 τρόφιμος, υἱὸς

book 5-6.5 Πορφύρας.

book 8 Καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἐντυχὼν ἑψητός.

book 9.1 Ἱερεὺς γὰρ ἦλθ’ αὐτοῖσιν ὀρφὼς

book 9.2 τοῦ θεοῦ.

book 10 Τοὺς μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας.

book 11 Ἐκήρυξεν βόαξ, σάλπης δ’ ἐσάλπιγξ’ ἕπτ’ ὀβολοὺς μισθὸν φέρων.

book 12.1 Ἱεροὺς Ἀφροδίτης

book 12.2 χρυσόφρυς Κυθηρίας.

book 13.1 Κύαθον ἐπριάμην

book 13.2 παρὰ Δαισίου.

book 1.1 Τροχιλίαισι

book 1.2 ταῦτα καὶ τοπείοις ἱστᾶσιν οὐκ ἄνευ πόνου.

book 1.1 Ἔστιν δέ μοι

book 1.2 πρόφασις καλῶς εὑρημένη· τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον.

book 2.1 [spk_α]Α. Οἴμοι. Β τί [δήποτ’] ἐστί; μῶν ἔδακέ τί σε; Α. ἔδακε; κατὰ μὲν οὖν ἔφαγε κἀπέβρυξέ τις. Β. τίς ἡ πανουργία

book 2.2 τε καὶ θεοσεχθρία;

book 3.1 Νῦν ὡς ἐγενόμην

book 3.2 χρημάτων ἐπήβολος.

book 4 Ῥαφίδα καὶ λίνον λαβὼν τόδε ῥῆγμα σύρραψον.

book 1.1 Ἀθῷος ἀποδὺς θοἰμάτιον ἀπέρχεται

book 1.2 στέφανον ἔχων τῶν ἐκκυλίστων οἴκαδε.

book 1 Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν ὦ μῆτέρ ἐστι μὴ πλέοντα μηδαμοῦ.

book 2.1 Σκαφεῦσι κηπωροῖσι

book 2.2 τοῖς τ’ ὀνηλάταις καὶ ταῖς γυναιξὶ προσέτι

book 2.3 ταῖς

book 2.4 ποαστρίαις.

book 4.1 Ἀμαθὴς

book 4.2 σοφός, δίκαιος ἄδικος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org